6 τὴν κοίτην καὶ ἔγνω ὅτι ἀποθνῄσκει. [6]καὶ ἐκάλεσεν τοὺς παῖδας
αὐτοῦ τοὺς ἐνδόξους τοὺς συνεκτρόφους αὐτοῦ ἐκ νεότητος καὶ
7 διεῖλεν αὐτοῖς τὴν βασιλείαν αὐτοῦ ἔτι αὐτοῦ ζῶντος. [7]καὶ ἐβασί-
8 λευσεν Ἀλέξανδρος ἔτη δώδεκα καὶ ἀπέθανεν. [8]καὶ ἐπεκράτησαν οἱ
9 παῖδες αὐτοῦ, ἕκαστος ἐν τῷ τόπῳ αὐτοῦ. [9]καὶ ἐπέθεντο πάντες
διαδήματα μετὰ τὸ ἀποθανεῖν αὐτὸν καὶ οἱ υἱοὶ αὐτῶν ὀπίσω αὐ-
10 τῶν ἔτη πολλὰ καὶ ἐπλήθυναν κακὰ ἐν τῇ γῇ. [10]καὶ ἐξῆλθεν ἐξ
αὐτῶν ῥίζα ἁμαρτωλὸς Ἀντίοχος Ἐπιφανὴς υἱὸς Ἀντιόχου τοῦ
βασιλέως, ὃς ἦν ὅμηρα ἐν Ῥώμῃ· καὶ ἐβασίλευσεν ἐν ἔτει ἑκα-
τοστῷ καὶ τριακοστῷ καὶ ἑβδόμῳ βασιλείας Ἑλλήνων.
11 [11]Ἐν ταῖς ἡμέραις ἐκείναις ἐξῆλθον ἐξ Ισραηλ υἱοὶ παράνομοι
καὶ ἀνέπεισαν πολλοὺς λέγοντες Πορευθῶμεν καὶ διαθώμεθα δια-
θήκην μετὰ τῶν ἐθνῶν τῶν κύκλῳ ἡμῶν, ὅτι ἀφ᾽ ἧς ἐχωρίσθημεν
12 ἀπ᾽ αὐτῶν, εὗρεν ἡμᾶς κακὰ πολλά. [12]καὶ ἠγαθύνθη ὁ λόγος ἐν
13 ὀφθαλμοῖς αὐτῶν, [13]καὶ προεθυμήθησάν τινες ἀπὸ τοῦ λαοῦ καὶ
ἐπορεύθησαν πρὸς τὸν βασιλέα, καὶ ἔδωκεν αὐτοῖς ἐξουσίαν ποι-
14 ῆσαι τὰ δικαιώματα τῶν ἐθνῶν. [14]καὶ ᾠκοδόμησαν γυμνάσιον ἐν
15 Ιεροσολύμοις κατὰ τὰ νόμιμα τῶν ἐθνῶν [15]καὶ ἐποίησαν ἑαυτοῖς
ἀκροβυστίας καὶ ἀπέστησαν ἀπὸ διαθήκης ἁγίας καὶ ἐζευγίσθησαν
τοῖς ἔθνεσιν καὶ ἐπράθησαν τοῦ ποιῆσαι τὸ πονηρόν.
16 [16]Καὶ ἡτοιμάσθη ἡ βασιλεία ἐνώπιον Ἀντιόχου, καὶ ὑπέλαβεν βα-
σιλεῦσαι γῆς Αἰγύπτου, ὅπως βασιλεύσῃ ἐπὶ τὰς δύο βασιλείας.
17 [17]καὶ εἰσῆλθεν εἰς Αἴγυπτον ἐν ὄχλῳ βαρεῖ, ἐν ἅρμασιν καὶ ἐλέφασιν
18 καὶ ἐν ἱππεῦσιν καὶ ἐν στόλῳ μεγάλῳ [18]καὶ συνεστήσατο πόλεμον
πρὸς Πτολεμαῖον βασιλέα Αἰγύπτου· καὶ ἐνετράπη Πτολεμαῖος ἀπὸ
19 προσώπου αὐτοῦ καὶ ἔφυγεν, καὶ ἔπεσον τραυματίαι πολλοί. [19]καὶ
κατελάβοντο τὰς πόλεις τὰς ὀχυρὰς ἐν γῇ Αἰγύπτῳ, καὶ ἔλαβεν τὰ
20 σκῦλα γῆς Αἰγύπτου. [20]καὶ ἐπέστρεψεν Ἀντίοχος μετὰ τὸ πατάξαι
Αἴγυπτον ἐν τῷ ἑκατοστῷ καὶ τεσσαρακοστῷ καὶ τρίτῳ ἔτει καὶ
21 ἀνέβη ἐπὶ Ισραηλ καὶ ἀνέβη εἰς Ιεροσόλυμα ἐν ὄχλῳ βαρεῖ. [21]καὶ

6 εκ] απο A | αυτου ζωντος] tr. A || 9 οι > S || 10 ρωμη] pr. τη A | εν ult. > A | τριακοστω .. εβδομω] tr. A || 11 εξηλθον εξ ισρ.] -θεν ισρ. S*† | υιος παρανομος A†, sed εξηλθον etiam A | εξωρισθημεν S*† | απ] υπ A† || 13 προεθυμωθησαν S*† | απο > SL | εδωκεν] -καν A† || 14 κατα τα] τα > S*† || 15 ακροβυστιας] -αν A† | εζευγισθησαν] εζευχθ. ScL; + εν SL | του > A | το > A† || 16 η > S*† || 17 εν $1^0$ > A† | ελεφα(+ν A: cf. 6 34)σιν] pr. εν ScL | εν ult. > S* || 18 βασ.] pr. τον Ar† | ενετραπη] απεστραφη S*† || 19 γη et γης] τη et της S† || 20 ετει > S*† | ανεβη ult. L La] > SA | εις L La] επι S†, > A | ιεροσολυμα] ιηλμ S† pro ιλημ (sic VL) = ιερουσαλημ; Mac. II—IV ubique formam hellenisticam ιεροσολυμα praebent, Mac. I plerumque ιερουσαλημ, sed SA in 1 14 10 43 11 34 et Amu. hoc loco ιεροσολυμα (La eisdem locis *hierosolima* uel sim., reliquis *hierusalem*); formam hellenisticam etiam in Mac. I initio ubique scriptam fuisse existimo, sed codices derelinquere nolui, cf. Esdr. I 1 47